# ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ Α΄

*Greeting*

1 Παῦλος, ἀπόστολος Ἰησοῦ Χριστοῦ* κατ᾽
ἐπιταγὴν Θεοῦ† Σωτῆρος ἡμῶν καὶ‡ Κυρίου
Ἰησοῦ Χριστοῦ§ τῆς ἐλπίδος ἡμῶν, 2 Τιμοθέῳ,
γνησίῳ τέκνῳ ἐν πίστει· Χάρις, ἔλεος, εἰρήνη
ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν* καὶ Χριστοῦ Ἰησοῦ
τοῦ Κυρίου ἡμῶν.

## Opening considerations

*Paul refers to their last conversation*

3 Καθὼς παρεκάλεσά σε προσμεῖναι ἐν
Ἐφέσῳ, πορευόμενος εἰς Μακεδονίαν, ἵνα
παραγγείλῃς τισὶν μὴ ἑτεροδιδασκαλεῖν
4 μηδὲ προσέχειν μύθοις καὶ γενεαλογίαις
ἀπεράντοις, αἵτινες ζητήσεις† παρέχουσιν
μᾶλλον ἢ οἰκονομίαν‡ Θεοῦ τὴν ἐν
πίστει. 5 Τὸ δὲ τέλος τῆς παραγγελίας
ἐστὶν ἀγάπη, ἐκ καθαρᾶς καρδίας
καὶ συνειδήσεως ἀγαθῆς καὶ πίστεως
ἀνυποκρίτου· 6 ὧν τινες ἀστοχήσαντες

---

* **1:1** ιησου χριστου **f**$^{35}$ A [97%] RP,HF,OC,TR,CP ¦ 21 ℵ [2%] NU ¦ — [1%] † **1:1** θεου **f**$^{35}$ ℵA [90%] RP,HF,OC,TR,NU ¦ 1 πατρος και [10%] CP ‡ **1:1** και **f**$^{35}$ ℵA [90%] RP,HF,OC,TR,NU ¦ — [10%] CP § **1:1** κυριου ιησου χριστου **f**$^{35}$ ℵ [90%] RP,HF,OC,TR ¦ 23 [2%] CP ¦ 32 A [8%] NU * **1:2** ημων **f**$^{35}$ [96%] RP,HF,OC,TR,CP ¦ — ℵA,I [4%] NU † **1:4** ζητησεις **f**$^{35}$ [97%] RP,HF,OC,TR,CP ¦ εκζητησεις ℵA [3%] NU ‡ **1:4** οικονομιαν *rell* ¦ οικοδομιαν [1%] TBS

ἐξετράπησαν εἰς ματαιολογίαν, 7 θέλοντες
εἶναι νομοδιδάσκαλοι, μὴ νοοῦντες μήτε ἃ
λέγουσιν μήτε περὶ τίνων διαβεβαιοῦνται.

### *What law is for*

8 Οἴδαμεν δὲ ὅτι καλὸς ὁ νόμος ἐάν τις
αὐτῷ νομίμως χρῆται, 9 εἰδὼς§ τοῦτο, ὅτι
δικαίῳ νόμος οὐ κεῖται, ἀνόμοις δὲ καὶ
ἀνυποτάκτοις, ἀσεβέσι* καὶ ἁμαρτωλοῖς,
ἀνοσίοις καὶ βεβήλοις, πατραλοίαις† καὶ
μητραλοιαίς,‡ ἀνδροφόνοις, 10 πόρνοις,
ἀρσενοκοίταις, ἀνδραποδισταῖς, ψεύσταις,
ἐπιόρκοις, καὶ εἴ τι ἕτερον τῇ ὑγιαινούσῃ
διδασκαλίᾳ ἀντίκειται 11 κατὰ τὸ εὐαγγέλιον
τῆς δόξης τοῦ μακαρίου Θεοῦ, ὃ ἐπιστεύθην
ἐγώ.

### *The grace of God*

12 Καὶ§ χάριν ἔχω τῷ ἐνδυναμώσαντί* με
Χριστῷ Ἰησοῦ,† τῷ Κυρίῳ ἡμῶν, ὅτι πιστόν

§ **1:9** ειδως *rell* ¦ οιδως CP * **1:9** ασεβεσι **f**[35] ℵA [80%] HF,OC,CP,NU ¦ ασεβεσιν [20%] RP,TR (Some TRs have the shorter form.) † **1:9** πατραλοιαις **f**[35] [45%] ¦ πατραλωαις [10%] TR ¦ πατραλοιας [5%] ¦ πατρολωαις ℵA [34%] RP,HF,OC,CP,NU ¦ πατρολοαις [5%] ¦ πατριλοιαις [1%] (Liddell & Scott give πατραλοιας and μητραλοιας as the basic forms. But there may be a significant difference in meaning—the basic form would properly be a 'striker', not a 'killer', which makes better sense, since the very next crime listed is 'murder'.) ‡ **1:9** μητραλοιαις **f**[35] [45%] ¦ μητραλωαις [5%] TR ¦ μητρολωαις ℵA [40%] RP,HF,OC,CP,NU ¦ μητρολοιαις [5%] ¦ μητρολοαις [5%] § **1:12** και **f**[35] [92%] RP,HF,OC,TR,CP ¦ — ℵA,I [8%] NU * **1:12** ενδυναμωσαντι **f**[35] A,I [90%] RP,HF,OC,TR,NU ¦ ενδυναμουντι ℵ [10%] CP † **1:12** ιησου *rell* ¦ — CP

με ἡγήσατο, θέμενος εἰς διακονίαν· 13 τὸν‡
πρότερον ὄντα βλάσφημον καὶ διώκτην καὶ
ὑβριστήν· ἀλλὰ§ ἠλεήθην, ὅτι ἀγνοῶν ἐποίησα
ἐν ἀπιστίᾳ· 14 ὑπερεπλεόνασεν δὲ ἡ χάρις τοῦ
Κυρίου ἡμῶν, μετὰ πίστεως καὶ ἀγάπης τῆς ἐν
Χριστῷ Ἰησοῦ. 15 Πιστὸς ὁ λόγος καὶ πάσης
ἀποδοχῆς ἄξιος· ὅτι Χριστὸς Ἰησοῦς ἦλθεν εἰς
τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι—ὧν πρῶτός
εἰμι ἐγώ· 16 ἀλλὰ διὰ τοῦτο ἠλεήθην, ἵνα ἐν
ἐμοί, πρώτῳ,* ἐνδείξηται Ἰησοῦς Χριστὸς†
τὴν πᾶσαν‡ μακροθυμίαν, πρὸς ὑποτύπωσιν
τῶν μελλόντων πιστεύειν ἐπ᾽ αὐτῷ εἰς ζωὴν
αἰώνιον. 17 Τῷ δὲ Βασιλεῖ τῶν αἰώνων,
ἀφθάρτῳ, ἀοράτῳ, μόνῳ σοφῷ§ Θεῷ, τιμὴ καὶ*
δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# A charge to Timothy

*Wage the good warfare*

18 Ταύτην τὴν παραγγελίαν παρατίθεμαί σοι,
τέκνον Τιμόθεε, κατὰ τὰς προαγούσας ἐπὶ
σὲ προφητείας, ἵνα στρατεύῃ ἐν αὐταῖς τὴν
καλὴν στρατείαν, 19 ἔχων πίστιν καὶ ἀγαθὴν
συνείδησιν (ἥν τινες ἀπωσάμενοι περὶ τὴν

---

‡ **1:13** τον **f**35 [95%] RP,HF,OC,TR,CP ¦ το אA,I [5%] NU § **1:13** αλλα *rell* ¦ αλλ [5%] OC,TR * **1:16** πρωτω *rell* ¦ πρωτον [15%] CP † **1:16** ιησους χριστος **f**35 א [93%] RP,HF,OC,TR,CP ¦ 21 A [5%] NU ¦ 1 [1%] ¦ 2 [0.5%] ¦ 1 ο 2 [0.5%] ‡ **1:16** πασαν **f**35 [94%] RP,HF,OC,TR,CP ¦ απασαν אA [5%] NU ¦ — [1%] § **1:17** σοφω **f**35 (98%) RP,HF,OC,TR,CP ¦ — אA (1.7%) NU ¦ part of a larger omission (0.3%) (The omission is unfortunate.) * **1:17** και **f**35 אA [50%] RP,HF,OC,TR,NU ¦ — [50%] CP

πίστιν ἐναυάγησαν· 20 ὧν ἐστιν Ὑμέναιος† καὶ
Ἀλέξανδρος—οὓς παρέδωκα τῷ Σατανᾷ ἵνα
παιδευθῶσιν μὴ βλασφημεῖν).

# 2

### *About prayer*

1 Παρακαλῶ οὖν πρῶτον πάντων ποιεῖσθαι
δεήσεις, προσευχάς, ἐντεύξεις, εὐχαριστίας,*
ὑπὲρ πάντων ἀνθρώπων 2 —ὑπὲρ βασιλέων
καὶ πάντων τῶν ἐν ὑπεροχῇ ὄντων, ἵνα
ἤρεμον† καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ
εὐσεβείᾳ καὶ σεμνότητι. 3 Τοῦτο γὰρ‡
καλὸν καὶ ἀπόδεκτον ἐνώπιον τοῦ Σωτῆρος
ἡμῶν Θεοῦ, 4 ὃς πάντας ἀνθρώπους θέλει
σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν.
5 Εἷς γὰρ Θεός, εἷς καὶ μεσίτης Θεοῦ καὶ
ἀνθρώπων—ἄνθρωπος—Χριστὸς Ἰησοῦς,§ 6 ὁ
δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ πάντων (τὸ
μαρτύριον καιροῖς ἰδίοις), 7 εἰς ὃ ἐτέθην
ἐγὼ κήρυξ καὶ ἀπόστολος—ἀλήθειαν λέγω ἐν
Χριστῷ,* οὐ ψεύδομαι—διδάσκαλος ἐθνῶν ἐν
πίστει καὶ ἀληθείᾳ.

8 Βούλομαι οὖν προσεύχεσθαι τοὺς ἄνδρας
ἐν παντὶ τόπῳ, ἐπαίροντας ὁσίους χεῖρας
χωρὶς ὀργῆς καὶ διαλογισμοῦ.† 9 Ὡσαύτως

---

† **1:20** υμεναιος *rell* ¦ υμενεος A [10%] * **2:1** ευχαριστιας *rell* ¦ ευχαριστειας [15%] † **2:2** ἠρεμον *rell* ¦ ἡρεμον [20%] ‡ **2:3** γαρ **f**35 [97%] RP,HF,OC,TR,CP ¦ — ℵA [3%] NU § **2:5** χριστος ιησους *rell* ¦ 21 [10%] CP * **2:7** εν χριστω **f**35 ℵ [85%] RP,HF,OC,TR,CP ¦ — A [15%] NU (OC has small print.) † **2:8** διαλογισμου *rell* ¦ διαλογισμων [10%]

καὶ τὰς‡ γυναῖκας, ἐν καταστολῇ κοσμίῳ
μετὰ αἰδοῦς καὶ σωφροσύνης κοσμεῖν ἑαυτάς·
μὴ ἐν πλέγμασιν ἢ § χρυσῷ* ἢ μαργαρίταις
ἢ ἱματισμῷ πολυτελεῖ, 10 ἀλλ᾽, ὃ πρέπει
γυναιξὶν ἐπαγγελλομέναις θεοσέβειαν, δι᾽
ἔργων ἀγαθῶν.

*About women*

11 Γυνὴ ἐν ἡσυχίᾳ μανθανέτω, ἐν πάσῃ
ὑποταγῇ. 12 Γυναικὶ δὲ διδάσκειν† οὐκ
ἐπιτρέπω, οὐδὲ αὐθεντεῖν ἀνδρός, ἀλλ᾽ εἶναι
ἐν ἡσυχίᾳ. 13 Ἀδὰμ γὰρ πρῶτος ἐπλάσθη,
εἶτα Εὕα. 14 Καὶ Ἀδὰμ οὐκ ἠπατήθη· ἡ δὲ
γυνή, ἀπατηθεῖσα,‡ ἐν παραβάσει γέγονεν.
15 Σωθήσεται δὲ διὰ τῆς Τεκνογονίας—ἐὰν
μείνωσιν ἐν πίστει καὶ ἀγάπῃ καὶ ἁγιασμῷ,
μετὰ σωφροσύνης.

# Qualifications

# 3

*Of overseers*

1 Πιστὸς ὁ λόγος· εἴ τις ἐπισκοπῆς ὀρέγεται,
καλοῦ ἔργου ἐπιθυμεῖ. 2 Δεῖ οὖν τὸν

---

‡ **2:9** και τας **f**[35] (94.7%) RP,HF,OC,TR,CP ¦ 1 (3.4%) [NU] ¦ — ℵA (1.5%) ¦ two other variants (0.3%) (τας γυναικας is parallel to τους ανδρας, so the majority variant is correct.) § **2:9** η **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ και ℵA [4%] NU ¦ — [1%] * **2:9** χρυσω **f**[35] ℵ [85%] RP,HF,OC,TR ¦ χρυσιω A,I [5%] NU ¦ αργυριω και χρυσιω [10%] (CP) † **2:12** γυναικι δε διδασκειν **f**[35] [90%] RP,HF,OC,TR,CP ¦ 321 ℵA [10%] NU ‡ **2:14** απατηθεισα **f**[35] [94%] RP,HF,OC,TR,CP ¦ εξαπατηθεισα ℵA [6%] NU

ἐπίσκοπον ἀνεπίληπτον* εἶναι, μιᾶς γυναικὸς
ἄνδρα, νηφάλιον,† σώφρονα, κόσμιον,
φιλόξενον, διδακτικόν, 3 μὴ πάροινον, μὴ
πλήκτην, μὴ αἰσχροκερδῆ,‡ ἀλλ’§ ἐπιεικῆ,
ἄμαχον, ἀφιλάργυρον· 4 τοῦ ἰδίου οἴκου καλῶς
προϊστάμενον, τέκνα ἔχοντα ἐν ὑποταγῇ
μετὰ πάσης σεμνότητος 5 (εἰ δέ τις τοῦ ἰδίου
οἴκου προστῆναι οὐκ οἶδεν, πῶς ἐκκλησίας
Θεοῦ ἐπιμελήσεται;)· 6 μὴ νεόφυτον, ἵνα μὴ
τυφωθεὶς εἰς κρῖμα ἐμπέσῃ τοῦ διαβόλου.
7 Δεῖ δὲ αὐτὸν* καὶ μαρτυρίαν καλὴν ἔχειν
ἀπὸ τῶν ἔξωθεν, ἵνα μὴ εἰς ὀνειδισμὸν ἐμπέσῃ
καὶ παγίδα τοῦ διαβόλου.

### *Of deacons*

8 Διακόνους ὡσαύτως σεμνούς, μὴ
διλόγους, μὴ οἴνῳ πολλῷ προσέχοντας,
μὴ αἰσχροκερδεῖς· 9 ἔχοντας τὸ μυστήριον
τῆς πίστεως ἐν καθαρᾷ συνειδήσει. 10 Καὶ
οὗτοι δὲ δοκιμαζέσθωσαν πρῶτον· εἶτα,
διακονείτωσαν, ἀνέγκλητοι ὄντες.

### *Of ‘deaconesses’*

---

* **3:2** ανεπιληπτον **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ ανεπιλημπτον ℵA [3%] NU † **3:2** νηφαλιον **f**[35] ℵA [40%] OC,CP,NU ¦ νηφαλεον [50%] RP,HF,TR ¦ νηφαλαιον [8%] ¦ νηφαλειον [2%] ‡ **3:3** μη αισχροκερδη **f**[35] (69.9%) RP,HF,OC,TR,CP ¦ — ℵA (30.1%) NU (Who wants to offend those with the means to make substantial contributions to the church coffers? So why talk about shady dealings? The omission is surely inferior.) § **3:3** αλλ **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ αλλα ℵA [3%] NU * **3:7** αυτον **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ — ℵA,I [3%] NU

11 Γυναῖκας ὡσαύτως σεμνάς, μὴ διαβόλους,
νηφαλίους,† πιστὰς ἐν πᾶσιν.

## *Of deacons, again*

12 Διάκονοι ἔστωσαν μιᾶς γυναικὸς ἄνδρες,
τέκνων καλῶς προϊστάμενοι καὶ τῶν ἰδίων
οἴκων. 13 Οἱ γὰρ καλῶς διακονήσαντες
βαθμὸν ἑαυτοῖς καλὸν περιποιοῦνται καὶ
πολλὴν παρρησίαν ἐν πίστει τῇ ἐν Χριστῷ
Ἰησοῦ.

## *God in flesh*

14 Ταῦτά σοι γράφω, ἐλπίζων ἐλθεῖν πρός
σε τάχιον,‡ 15 ἐὰν δὲ βραδύνω, ἵνα εἰδῇς πῶς
δεῖ ἐν οἴκῳ Θεοῦ ἀναστρέφεσθαι, ἥτις ἐστὶν
ἐκκλησία Θεοῦ ζῶντος, στῦλος καὶ ἑδραίωμα§
τῆς ἀληθείας. 16 Καί, ὁμολογουμένως
μέγα ἐστὶν τὸ τῆς εὐσεβείας μυστήριον·

† **3:11** νηφαλιους **f**[35] ℵA,C [40%] OC,CP,NU ¦ νηφαλεους [50%] RP,HF,TR ¦ νηφαλαιους [8%] ¦ νηφαλεας [2%] ‡ **3:14** ταχιον **f**[35] ℵ (92.5%) RP,HF,OC,TR,CP ¦ ταχειον (5.4%) ¦ εν ταχει A,C (2%) NU § **3:15** ἑδραιωμα *rell* ¦ εδραιωμα [15%]

Θεὸς* ἐφανερώθη ἐν σαρκί, ἐδικαιώθη ἐν πνεύματι, ὤφθη ἀγγέλοις, ἐκηρύχθη ἐν ἔθνεσιν, ἐπιστεύθη ἐν κόσμῳ, ἀνελήφθη† ἐν δόξῃ.

# About doctrine

# 4

*Things taught by demons*

1 Τὸ δὲ Πνεῦμα ῥητῶς λέγει ὅτι ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως, προσέχοντες πνεύμασιν πλάνοις* καὶ διδασκαλίαις δαιμονίων
2 —ἐν ὑποκρίσει ψευδολόγων κεκαυτηριασμένων† τὴν ἰδίαν συνείδησιν,
3 κωλυόντων γαμεῖν, ἀπέχεσθαι βρωμάτων ἃ ὁ Θεὸς ἔκτισεν εἰς

---

* **3:16** θεος **f**[35] A,C[V] [98.5%] RP,HF,OC,TR,CP ¦ ος א [1%] NU ¦ ο D ¦ ω 061 ¦ ος θεος 256 (For an explanation of this statement of evidence, and a discussion of the implications, please see my book, *‘The Identity of the New Testament Text IV*, footnote 3, on pages 115-117’) [The variant chosen by NU is a grammatical impossibility (no antecedent for the pronoun), besides being a stupidity. What is a ‘mystery’ about any human male being manifested in flesh? All human beings have bodies. In the absence of concrete evidence, the claim that this is a quote lifted from a known hymn or poem becomes no more than a desperate attempt to ‘save’ a choice that besides being stupid is also perverse (because of the theological consequences).]
† **3:16** ανεληφθη **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ ανελημφθη אA,C [3%] NU
* **4:1** πλανοις **f**[35] אA,C [70%] RP,HF,OC,TR,NU ¦ πλανης [30%] CP
† **4:2** κεκαυτηριασμενων **f**[35] C,I [85%] RP,HF,TR,CP ¦ κεκαυστηριασμενων אA [10%] OC,NU ¦ και καυ(σ)τηριασμενων [5%]

μετάληψιν‡ μετὰ εὐχαριστίας§ τοῖς πιστοῖς
καὶ ἐπεγνωκόσι* τὴν ἀλήθειαν. 4 Ὅτι πᾶν
κτίσμα Θεοῦ καλόν, καὶ οὐδὲν ἀπόβλητον
μετὰ εὐχαριστίας λαμβανόμενον, 5 ἁγιάζεται
γὰρ διὰ λόγου Θεοῦ καὶ ἐντεύξεως.

### *A good servant of Jesus Christ*

6 Ταῦτα ὑποτιθέμενος τοῖς ἀδελφοῖς καλὸς
ἔσῃ διάκονος Ἰησοῦ Χριστοῦ,† ἐντρεφόμενος‡
τοῖς λόγοις τῆς πίστεως καὶ τῆς καλῆς
διδασκαλίας ᾗ παρηκολούθηκας. 7 Τοὺς
δὲ βεβήλους καὶ γραώδεις μύθους παραιτοῦ·
γύμναζε δὲ σεαυτὸν πρὸς εὐσέβειαν. 8 Ἡ
γὰρ σωματικὴ γυμνασία πρὸς ὀλίγον ἐστὶν
ὠφέλιμος, ἡ δὲ εὐσέβεια πρὸς πάντα ὠφέλιμός
ἐστιν, ἐπαγγελίας§ ἔχουσα ζωῆς τῆς νῦν καὶ
τῆς μελλούσης.

### *A trustworthy word*

---

‡ **4:3** μεταληψιν **f**35 C [97%] RP,HF,OC,TR,CP ¦ μεταλημψιν אA [3%] NU § **4:3** ευχαριστιας **f**35 אC [90%] RP,HF,OC,TR,CP,NU ¦ ευχαριστειας A [10%] (Also in verse 4.) * **4:3** επεγνωκοσι **f**35 אC [80%] HF,OC,CP,NU ¦ επεγνωκοσιν A [20%] RP,TR (Some TRs have the shorter form.) † **4:6** ιησου χριστου **f**35 [80%] RP,HF,OC,TR ¦ 21 אA,C [20%] CP,NU ‡ **4:6** εντρεφομενος *rell* ¦ εκτρεφομενος [2%] CP § **4:8** επαγγελιας **f**35 [60%] OC ¦ επαγγελιαν אA [40%] RP,HF,TR,CP,NU (The form being ambiguous between genitive singular or accusative plural, copyists who took the form to be genitive would naturally change it to accusative, leaving it singular. In the context the accusative plural makes excellent sense, there being many promises.)

9 Πιστὸς ὁ λόγος καὶ πάσης ἀποδοχῆς
ἄξιος 10 (εἰς τοῦτο γὰρ καὶ* κοπιῶμεν καὶ
ὀνειδιζόμεθα)·† ὅτι ἠλπίκαμεν ἐπὶ Θεῷ ζῶντι,
ὅς ἐστιν Σωτὴρ πάντων ἀνθρώπων, μάλιστα‡
πιστῶν.

### *Watch your life and doctrine*

11 Παράγγελλε§ ταῦτα καὶ δίδασκε.
12 Μηδείς σου τῆς νεότητος καταφρονείτω,
ἀλλὰ τύπος γίνου* τῶν πιστῶν ἐν λόγῳ,
ἐν ἀναστροφῇ, ἐν ἀγάπῃ, ἐν πνεύματι,† ἐν
πίστει, ἐν ἁγνείᾳ. 13 Ἕως ἔρχομαι πρόσεχε
τῇ ἀναγνώσει, τῇ παρακλήσει, τῇ διδασκαλίᾳ.
14 Μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος, ὃ ἐδόθη
σοι διὰ προφητείας μετὰ ἐπιθέσεως τῶν
χειρῶν τοῦ πρεσβυτερίου. 15 Ταῦτα μελέτα· ἐν
τούτοις ἴσθι, ἵνα σου ἡ προκοπὴ φανερὰ ᾖ ἐν‡
πᾶσιν. 16 Ἔπεχε σεαυτῷ καὶ τῇ διδασκαλίᾳ·
ἐπίμενε αὐτοῖς, τοῦτο γὰρ ποιῶν καὶ σεαυτὸν
σώσεις καὶ τοὺς ἀκούοντάς σου.

## Relationships

---

* **4:10** και **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ — אA,C [5%] NU † **4:10** ονειδιζομεθα **f**[35] [93%] RP,HF,OC,TR,CP ¦ αγωνιζομεθα אA,C [7%] NU (Is not the variant chosen by NU inferior?) ‡ **4:10** μαλιστα *rell* ¦ 1 δε [10%] § **4:11** παραγγελλε *rell* ¦ παραγγελε [10%] CP (Also in 5:7 and 6:17.) * **4:12** γινου **f**[35] אA,C [90%] RP,HF,OC,TR,NU ¦ γενου [10%] CP † **4:12** εν πνευματι **f**[35] (90.9%) RP,HF,OC,TR,CP ¦ — אA,C,I (9.1%) NU (The omission could be a not very difficult case of homoioarcton.) ‡ **4:15** εν **f**[35] (97.4%) RP,HF,OC,TR,CP ¦ — אA,C (2.4%) NU ¦ one other variant (0.2%)

# 5

1 Πρεσβυτέρῳ μὴ ἐπιπλήξῃς, ἀλλὰ παρακάλει
ὡς πατέρα, νεωτέρους ὡς ἀδελφούς,
2 πρεσβυτέρας ὡς μητέρας, νεωτέρας ὡς
ἀδελφάς, ἐν πάσῃ ἁγνείᾳ.

*Honor true widows*

3 Χήρας τίμα τὰς ὄντως χήρας. 4 Εἰ δέ τις
χήρα τέκνα ἢ ἔκγονα* ἔχει, μανθανέτωσαν
πρῶτον τὸν ἴδιον οἶκον εὐσεβεῖν καὶ ἀμοιβὰς
ἀποδιδόναι τοῖς προγόνοις, τοῦτο γάρ ἐστιν†
ἀπόδεκτον ἐνώπιον τοῦ Θεοῦ. 5 Ἡ δὲ
ὄντως χήρα καὶ μεμονωμένη ἤλπικεν ἐπὶ τὸν‡
Θεόν, καὶ προσμένει ταῖς δεήσεσιν καὶ ταῖς
προσευχαῖς νυκτὸς καὶ ἡμέρας. 6 Ἡ δὲ
σπαταλῶσα ζῶσα τέθνηκεν.

7 Καὶ ταῦτα παράγγελλε, ἵνα ἀνεπίληπτοι§
ὦσιν. 8 Εἰ δέ τις τῶν ἰδίων, καὶ μάλιστα τῶν*
οἰκείων, οὐ προνοεῖ, τὴν πίστιν ἤρνηται καὶ
ἔστιν ἀπίστου χείρων.

9 Χήρα καταλεγέσθω μὴ ἔλαττον ἐτῶν
ἑξήκοντα γεγονυῖα, ἑνὸς ἀνδρὸς γυνή,
10 ἐν ἔργοις καλοῖς μαρτυρουμένη —εἰ
ἐτεκνοτρόφησεν, εἰ† ἐξενοδόχησεν, εἰ ἁγίων
πόδας ἔνιψεν, εἰ θλιβομένοις ἐπήρκεσεν, εἰ
παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησεν.

---

* **5:4** εκγονα *rell* ¦ εγγονα [10%] † **5:4** εστιν **f**[35] אA,C [85%] RP,HF,NU ¦ 1 καλον και [5%] OC,TR,CP ¦ καλον και 1 [10%] ‡ **5:5** τον **f**[35] A [97%] RP,HF,OC,TR,CP ¦ — אC [3%] NU § **5:7** ανεπιληπτοι **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ ανεπιλημπτοι אA,C [3%] NU * **5:8** των **f**[35] C [97%] RP,HF,OC,TR,CP ¦ — אA,I,048 [3%] NU † **5:10** ει *rell* ¦ η [2%] CP

### *About younger widows*

11 Νεωτέρας δὲ‡ χήρας παραιτοῦ· ὅταν
γὰρ καταστρηνιάσωσιν τοῦ Χριστοῦ,
γαμεῖν θέλουσιν, 12 ἔχουσαι κρῖμα ὅτι
τὴν πρώτην πίστιν ἠθέτησαν. 13 Ἅμα δὲ
καί, ἀργαὶ μανθάνουσιν, περιερχόμεναι
τὰς οἰκίας· οὐ μόνον δὲ ἀργαί, ἀλλὰ καὶ
φλύαροι καὶ περίεργοι, λαλοῦσαι τὰ μὴ
δέοντα. 14 Βούλομαι οὖν νεωτέρας§ γαμεῖν,
τεκνογονεῖν, οἰκοδεσποτεῖν, μηδεμίαν
ἀφορμὴν διδόναι τῷ ἀντικειμένῳ λοιδορίας
χάριν. 15 (Ἤδη γάρ τινες ἐξετράπησαν ὀπίσω
τοῦ Σατανᾶ.)
16 Εἴ τις πιστὸς ἢ * πιστὴ ἔχει χήρας,
ἐπαρκείτω αὐταῖς καὶ μὴ βαρείσθω ἡ
ἐκκλησία, ἵνα ταῖς ὄντως χήραις ἐπαρκέσῃ.

### *Honor elders*

17 Οἱ καλῶς προεστῶτες πρεσβύτεροι διπλῆς
τιμῆς ἀξιούσθωσαν, μάλιστα οἱ κοπιῶντες ἐν
λόγῳ καὶ διδασκαλίᾳ. 18 Λέγει γὰρ ἡ Γραφή·
«Βοῦν ἀλοῶντα† οὐ φιμώσεις,» καὶ «Ἄξιος ὁ
ἐργάτης τοῦ μισθοῦ αὐτοῦ.»

---

‡ **5:11** δε *rell* ¦ — [10%] § **5:14** νεωτερας **f**[35] אA,C [85%] RP,HF,OC,TR,NU ¦ 1 χηρας [15%] CP * **5:16** πιστος η **f**[35] (97.6%) RP,HF,OC,TR,CP ¦ — אA,C,048 (2.2%) NU ¦ one other variant (0.2%) (Might the 'Alexandrian' variant be the result of homoioarcton?) † **5:18** ἀλοωντα **f**[35] [30%] ¦ ἁλοωντα *rell* ¦ αλοουντα [5%] (The noun equivalent is everywhere spelled with rough breathing; since collators have generally not registered aspiration, it is hard to know what the witness of the mass of minuscules may be.)

19 Κατὰ πρεσβυτέρου κατηγορίαν μὴ
παραδέχου ἐκτὸς εἰ μὴ ἐπὶ δύο ἢ τριῶν
μαρτύρων. 20 Τοὺς ἁμαρτάνοντας ἐνώπιον
πάντων ἔλεγχε, ἵνα καὶ οἱ λοιποὶ φόβον
ἔχωσιν.

### *Watch your step*

21 Διαμαρτύρομαι ἐνώπιον τοῦ Θεοῦ
καὶ Κυρίου Ἰησοῦ Χριστοῦ‡ καὶ τῶν
ἐκλεκτῶν ἀγγέλων ἵνα ταῦτα φυλάξῃς χωρὶς
προκρίματος, μηδὲν ποιῶν κατὰ πρόσκλισιν.§
22 Χεῖρας ταχέως μηδενὶ ἐπιτίθει, μηδὲ
κοινώνει ἁμαρτίαις ἀλλοτρίαις. Σεαυτὸν
ἁγνὸν τήρει.
23 Μηκέτι ὑδροπότει, ἀλλ᾽* οἴνῳ ὀλίγῳ χρῶ
διὰ τὸν στόμαχόν σου† καὶ τὰς πυκνάς σου
ἀσθενείας.
24 Τινῶν ἀνθρώπων αἱ ἁμαρτίαι πρόδηλοί
εἰσιν, προάγουσαι εἰς κρίσιν, τισὶν δὲ καὶ
ἐπακολουθοῦσιν. 25 Ὡσαύτως καὶ τὰ καλὰ
ἔργα‡ πρόδηλά ἐστιν·§ καὶ τὰ ἄλλως ἔχοντα
κρυβῆναι οὐ δύνανται.*

---

‡ **5:21** κυριου ιησου χριστου **f35** [95%] RP,HF,OC,TR,CP ¦ 23 [2%] ¦ 32 ℵA [3%] NU (Is not the full form more appropriate for a solemn charge?) § **5:21** προσκλισιν **f35** ℵ [25%] TR,CP,NU ¦ προσκλησιν **f35pt** A [75%] RP,HF,OC * **5:23** αλλ **f35** [97%] RP,HF,OC,TR,CP ¦ αλλα ℵA [3%] NU † **5:23** σου **f35** [96%] RP,HF,OC,TR,CP ¦ — ℵA [4%] NU ‡ **5:25** καλα εργα **f35** [95%] RP,HF,OC,TR,CP ¦ 2 τα 1 ℵA [5%] NU § **5:25** εστιν **f35** [80%] RP,HF,OC,TR,CP ¦ εισιν [10%] ¦ — ℵA [10%] NU * **5:25** δυνανται **f35** A [70%] RP,HF,OC,NU ¦ δυναται ℵ [30%] TR,CP

# 6

*Slaves honor owners*

1 Ὅσοι εἰσὶν ὑπὸ ζυγὸν δοῦλοι τοὺς ἰδίους
δεσπότας πάσης τιμῆς ἀξίους ἡγείσθωσαν,
ἵνα μὴ τὸ ὄνομα τοῦ Θεοῦ καὶ ἡ διδασκαλία
βλασφημῆται. 2 Οἱ δὲ πιστοὺς ἔχοντες
δεσπότας μὴ καταφρονείτωσαν ὅτι ἀδελφοί
εἰσιν· ἀλλὰ μᾶλλον δουλευέτωσαν, ὅτι
πιστοί εἰσιν καὶ ἀγαπητοὶ οἱ τῆς εὐεργεσίας
ἀντιλαμβανόμενοι.

*Conclusion to 'Relationships'*

Ταῦτα δίδασκε καὶ παρακάλει. 3 Εἴ
τις ἑτεροδιδασκαλεῖ καὶ μὴ προσέρχεται
ὑγιαίνουσιν λόγοις, τοῖς τοῦ Κυρίου ἡμῶν
Ἰησοῦ Χριστοῦ, καὶ τῇ κατ᾽ εὐσέβειαν
διδασκαλίᾳ, 4 τετύφωται, μηδὲν ἐπιστάμενος·
ἀλλὰ νοσῶν περὶ ζητήσεις καὶ λογομαχίας,
ἐξ ὧν γίνεται φθόνος, ἔρις,* βλασφημίαι,
ὑπόνοιαι πονηραί, 5 διαπαρατριβαὶ†
διεφθαρμένων ἀνθρώπων τὸν νοῦν καὶ
ἀπεστερημένων τῆς ἀληθείας, νομιζόντων
πορισμὸν εἶναι τὴν εὐσέβειαν. Ἀφίστασο ἀπὸ
τῶν τοιούτων.‡

## Concluding considerations

* **6:4** ερις **f**[35] אA,048 [90%] RP,HF,OC,TR,CP,NU ¦ ερεις [10%] † **6:5** διαπαρατριβαι **f**[35] אA [90%] RP,HF,CP,NU ¦ παραδιατριβαι [5%] OC,TR ¦ διατριβαι [3%] ¦ παρατριβαι [2%] ‡ **6:5** αφιστασο (-σω 3.6%) απο των τοιουτων **f**[35] (96.9%) RP,HF,OC,TR,CP ¦ — אA,048 (2.8%) NU ¦ two other variants (0.3%) (How could a gloss dominate the stream of transmission to the tune of 97%?)

### *Godliness with contentment*

6 Ἔστιν δὲ πορισμὸς μέγας ἡ εὐσέβεια μετὰ
αὐταρκείας. 7 Οὐδὲν γὰρ εἰσηνέγκαμεν εἰς
τὸν κόσμον, δῆλον§ ὅτι οὐδὲ ἐξενεγκεῖν
τι δυνάμεθα. 8 Ἔχοντες δὲ διατροφὰς*
καὶ σκεπάσματα τούτοις ἀρκεσθησόμεθα.†
9 Οἱ δὲ βουλόμενοι πλουτεῖν ἐμπίπτουσιν
εἰς πειρασμὸν καὶ παγίδα καὶ ἐπιθυμίας
πολλὰς ἀνοήτους‡ καὶ βλαβεράς, αἵτινες
βυθίζουσιν τοὺς ἀνθρώπους εἰς ὄλεθρον καὶ
ἀπώλειαν· 10 ῥίζα γὰρ πάντων τῶν κακῶν
ἐστιν ἡ φιλαργυρία· ἧς τινες ὀρεγόμενοι
ἀπεπλανήθησαν§ ἀπὸ τῆς πίστεως καὶ
ἑαυτοὺς περιέπειραν ὀδύναις πολλαῖς.

### *Lay hold on eternal life*

11 Σὺ δέ, ὦ ἄνθρωπε τοῦ* Θεοῦ, ταῦτα
φεῦγε· δίωκε δὲ δικαιοσύνην, εὐσέβειαν,
πίστιν, ἀγάπην, ὑπομονήν, πρᾳότητα.†
12 Ἀγωνίζου τὸν καλὸν ἀγῶνα τῆς πίστεως·
ἐπιλαβοῦ τῆς αἰωνίου ζωῆς εἰς ἣν καὶ‡
ἐκλήθης —καὶ ὡμολόγησας§ τὴν καλὴν
ὁμολογίαν ἐνώπιον πολλῶν μαρτύρων.

---

§ **6:7** δηλον **f**[35] [98%] RP,HF,OC,TR,CP ¦ — אA,048 [2%] NU * **6:8** διατροφας **f**[35] אA [90%] RP,HF,OC,TR,CP,NU ¦ διατροφην 048[V] [10%] † **6:8** αρκεσθησομεθα *rell* ¦ αρκεσθησωμεθα [5%] CP ‡ **6:9** ανοητους *rell* ¦ ανονητους [3%] CP § **6:10** απεπλανηθησαν *rell* ¦ αποπλανηθησαν CP * **6:11** του **f**[35] [98%] RP,HF,OC,TR,CP ¦ — אA,I [2%] NU † **6:11** πραοτητα **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ πραυτητα [2%] ¦ πραυπαθιαν אA [3%] NU ‡ **6:12** και **f**[35] [40%] OC,TR ¦ — אA [60%] RP,HF,CP,NU (OC has small type.) § **6:12** ωμολογησας *rell* ¦ ομολογησας [10%]

13 Παραγγέλλω σοι* ἐνώπιον τοῦ Θεοῦ τοῦ
ζωοποιοῦντος† τὰ πάντα, καὶ Χριστοῦ Ἰησοῦ
τοῦ μαρτυρήσαντος ἐπὶ Ποντίου Πιλάτου τὴν
καλὴν ὁμολογίαν, 14 τηρῆσαί σε τὴν ἐντολὴν
ἄσπιλον, ἀνεπίληπτον‡ μέχρι τῆς ἐπιφανείας
τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, 15 ἣν
καιροῖς ἰδίοις δείξει§—ὁ μακάριος καὶ μόνος
Δυνάστης, ὁ Βασιλεὺς τῶν βασιλευόντων καὶ
Κύριος τῶν κυριευόντων· 16 ὁ μόνος ἔχων
ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον· ὃν εἶδεν
οὐδεὶς ἀνθρώπων οὐδὲ ἰδεῖν δύναται· ᾧ τιμὴ
καὶ* κράτος αἰώνιον. Ἀμήν.

## *To the rich*

17 Τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι
παράγγελλε μὴ ὑψηλοφρονεῖν, μηδὲ
ἠλπικέναι† ἐπὶ πλούτου ἀδηλότητι ἀλλ᾽ ἐν‡

---

* **6:13** σοι **f**[35] A [98%] RP,HF,OC,TR,CP[NU] ¦ — א [2%] † **6:13** ζωοποιουντος **f**[35] א [95%] RP,HF,OC,TR,CP ¦ ζωογονουντος A [5%] NU ‡ **6:14** ανεπιληπτον **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ ανεπιλημπτον א [3%] NU § **6:15** δειξει *rell* ¦ δειξη [2%] CP ¦ δειξαι [1%] * **6:16** και **f**[35] אA [85%] RP,HF,OC,TR,NU ¦ — [15%] CP † **6:17** ηλπικεναι *rell* ¦ ελπικεναι [10%] ¦ ελπιζειν [2%] ‡ **6:17** εν **f**[35] (78.6%) RP,HF,OC,TR,CP ¦ επι אA,I (19.8%) NU ¦ — (0.3%) ¦ three other variants (1.2%) (This and the following two sets are all handled together in *TuT* as a single set, but with thirteen variants; I separated them so as to highlight the basic choices.)

τῷ§ Θεῷ τῷ ζῶντι,* τῷ παρέχοντι ἡμῖν πάντα
πλουσίως† εἰς ἀπόλαυσιν· 18 ἀγαθοεργεῖν,
πλουτεῖν ἐν ἔργοις καλοῖς, εὐμεταδότους
εἶναι κοινωνικούς 19 —ἀποθησαυρίζοντας
ἑαυτοῖς θεμέλιον καλὸν εἰς τὸ μέλλον, ἵνα
ἐπιλάβωνται τῆς αἰωνίου‡ ζωῆς.

### *A closing exhortation*

20 Ὦ Τιμόθεε, τὴν παραθήκην§ φύλαξον,
ἐκτρεπόμενος τὰς βεβήλους κενοφωνίας καὶ
ἀντιθέσεις τῆς ψευδωνύμου γνώσεως 21 —
ἥν τινες ἐπαγγελλόμενοι περὶ τὴν πίστιν
ἠστόχησαν.

---

§ **6:17** τω **f**[35] A,I (91.7%) RP,HF,OC,TR,CP ¦ — א (7.1%) NU ¦ three other variants (1.2%) * **6:17** τω ζωντι **f**[35] (88.4%) RP,HF,OC,TR,CP ¦ 2 (3.6%) ¦ — אA,I (6.8%) NU ¦ three other variants (1.2%) (If the original form were επι θεω, as in NU, who would change it to the longer, more complex form? The choice of NU is surely inferior.) † **6:17** παντα πλουσιως **f**[35] א [92%] RP,HF,OC,CP,NU ¦ 2 [1%] ¦ 21 [5%] TR ¦ τα 12 A [2%] ‡ **6:19** αιωνιου **f**[35] [92%] RP,OC,TR,CP ¦ αινωιου HF ¦ οντως אA [6%] NU ¦ οντως 1 [2%] § **6:20** παραθηκην **f**[35] אA [80%] RP,HF,NU ¦ παρακαταθηκην [20%] OC,TR,CP

Ἡ χάρις μετὰ σοῦ.* Ἀμήν.†,‡

* **6:21** μετα σου **f**35 048 [97%] RP,HF,OC,TR,CP ¦ μεθ υμων ℵA [3%] NU (The letter is addressed to a single individual, and in case anyone should forget, the previous verse begins with "O Timothy". The Alexandrian variant is clearly in error. To trot out the 'harder reading' canon in a case like this I consider to be irresponsible.) † **6:21** αμην **f**35 [97%] RP,HF,OC,TR,CP ¦ — ℵA [3%] NU ‡ **6:21** The citation of **f**35 is based on thirty-seven MSS—18, 35, 201, 204, 328, 386, 394, 444, 604, 757, 824, 928, 959, 986, 1072, 1075, 1100, 1247, 1249, 1503, 1548, 1637, 1725, 1732, 1761, 1768, 1855, 1864, 1865, 1876, 1892, 1897 [1:1-3:16], 2080, 2466, 2554, 2587 and 2723—all of which I collated myself. 1761 and 2554 are 'perfect' representatives of **f**35 in 1 Timothy, as they stand, and the exemplars of 444 and 2466 probably were. Since these MSS come from all over the Mediterranean world (Sinai, Jerusalem, Patmos, Constantinople, Bucharest, Aegean, Trikala, Athens, Mt. Athos [eight different monasteries], Grottaferrata, Vatican, etc.) they are certainly representative of the family, giving us the precise family profile—it is reflected in the Text without exception. In the statements of evidence I have included the percentage of manuscript attestation for each variant, within either ( ) or [ ]. I have used ( ) for the evidence taken from *TuT*, which I take to be reasonably precise. For the variant sets that are not covered there I had to revert to von Soden and the apparatus of N-A27, supplementing from other sources where possible (Scrivener and Tischendorf)—the percentages offered, I have used [ ] for these, are extrapolations based on a comparison of these sources.I venture to predict, if complete collations ever become available, that for any non-Byzantine variants listed with 5 to 1% support (in my apparatus) the margin of error should not exceed ±1%; for non-Byzantine variants listed with 10 to 6% support the margin of error should hardly exceed ±3%; where there is some division among the Byzantine witnesses the margin of error should rarely exceed ±15%. But I guarantee the witness of Family 35. Please see the last footnote for Matthew for further information.

# Η Καινή Διαθήκη
## The Greek New Testament According to Family 35, Wilbur Pickering

Copyright © 2020 Wilbur N. Pickering

Language: Ελληνική (Greek, Ancient)

Dialect: Koine

Contributor: Dwayne Green, Robert A. Boyd

This translation is made available to you under the terms of the Creative Commons Attribution-Noncommercial-No Derivatives license 4.0.
You may share and redistribute this Bible translation or extracts from it in any format, provided that:
You include the above copyright and source information.
You do not sell this work for a profit.
You do not change any of the words or punctuation of the Scriptures.
Pictures included with Scriptures and other documents on this site are licensed just for use with those Scriptures and documents. For other uses, please contact the respective copyright owners.

2022-12-22

---

PDF generated using Haiola and XeLaTeX on 31 Jan 2023 from source files dated 23 Dec 2022
cf64fb6f-e463-5ebb-820f-5a4a7bb37b73